F μετὰ τὴν προσαγγελίαν ἀμφοτέρων τῶν υἱέων οὐδὲν ἧττον
ἐστεφανωμένον κατὰ τὸ πάτριον ἔθος καὶ λευχειμονοῦντα δη-
μηγορεῖν 'βουλάς τ' ἐξάρχοντ' ἀγαθὰς' (B 273) πρός τε τὸν
πόλεμον ἐπιπαρορμῶντα τοὺς Ἀθηναίους. Ξενοφῶντα δὲ τὸν
Σωκρατικὸν θύοντά ποτε, παρὰ τῶν ἀγγέλων ⟨τῶν⟩ ἀπὸ τοῦ
πολέμου πυθόμενον ὅτι ὁ υἱὸς αὐτοῦ Γρύλλος ἀγωνιζόμενος
119 ἐτελεύτησε, περιελόμενον τὸν στέφανον | ἐξετάζειν τίνα τρόπον
ἐτελεύτησε. τῶν δὲ ἀπαγγειλάντων ὅτι γενναίως ἀριστεύων καὶ
πολλοὺς τῶν πολεμίων κατακτείνας, μικρὸν παντελῶς διαστή-
σαντα χρόνον καὶ τῷ λογισμῷ τὸ πάθος παρακατασχόντα, ἐπι-
θέμενον πάλιν τὸν στέφανον ἐπιτελεῖν τὴν θυσίαν, καὶ πρὸς
τοὺς ἀγγέλους εἰπεῖν ὅτι 'θεοῖς ηὐξάμην οὐκ ἀθάνατον οὐδὲ
πολυχρόνιον γενέσθαι μοι τὸν υἱόν (τὸ γὰρ τοιοῦτον ἄδηλον
εἰ συμφέρει), ἀγαθὸν δὲ καὶ φιλόπατριν, ὃ δὴ καὶ γέγονεν'.
Δίωνα δὲ τὸν Συρακόσιον συνεδρεύοντα μετὰ τῶν φίλων,
κατὰ τὴν οἰκίαν θορύβου γενομένου καὶ μεγάλης κραυγῆς,
B πυθόμενον τὴν αἰτίαν καὶ τὸ συμβεβηκὸς ἀκούσαντα ὅτι ὁ
υἱὸς αὐτοῦ καταπεσὼν ἀπὸ τοῦ τέγους ἐτελεύτησεν, οὐδὲν
ἐκπλαγέντα τὸ μὲν σωμάτιον κελεῦσαι τοῦ μεταλλάξαντος ταῖς
γυναιξὶ παραδοῦναι πρὸς τὴν νόμιμον ταφήν, αὐτὸν δὲ περὶ
ὧν διεσκέπτετο μὴ παραλιπεῖν. τοῦτον ζηλῶσαι λέγεται καὶ
Δημοσθένην τὸν ῥήτορα, τὴν μόνην καὶ ἀγαπητὴν ἀπολέσαντα
θυγατέρα, περὶ ἧς φησιν Αἰσχίνης, κατηγορεῖν αὐτοῦ δόξας,
ταυτί (III 77)· 'ἑβδόμην δ' ἡμέραν τῆς θυγατρὸς αὐτῷ τετε-
λευτηκυίας, πρὶν πενθῆσαι καὶ τὰ νομιζόμενα ποιῆσαι, στεφα-
C νωσάμενος καὶ λευκὴν ἐσθῆτα ἀναλαβὼν ἐβουθύτει καὶ παρη-
νόμει, τὴν μόνην ὁ δείλαιος καὶ πρώτην αὐτὸν πατέρα προσ-

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id40391017X/252 UNIVERSITÄT LEIPZIG